σκημένος δὲ ὢν τὰ ῥητορικὰ μετὰ τὴν τοῦ συντακτικοῦ παράδοσιν διδασκέτω διὰ γυμνασμάτων καὶ τὴν ῥητορικὴν τέχνην· αἱρήσεται δὲ, τῇ εἰδήσει μέντοι τῶν ἐφόρων καὶ ἐπιτρόπων, ὑποδιδασκάλους δύο, τὸν μὲν ἐπί........, τοὺς δὲ ἐπὶ τοῖς ἄρτι των μαθημάτων προσαπτομένοις· τῶν δὲ γραμματικῶν ἕκαστος διδασκέτω σαφῶς καὶ διακεκριμένως τῆς ἐπιδόσεως τῶν μαθητῶν, εἰ δυνατὸν, στοχαζόμ(ενος), ὁ μὲν πρῶτος τὸ συντακτικὸν, ὁ δὲ δεύτερος, τὸ ὀρθογραφικὸν, σχηματιστικὸν καὶ λ. π.... μέχρι τῶν λεγομένων συμφωνιῶν, ὁ δὲ τρίτος, τὸν Χρυσολωρᾶν καὶ τὸν Αἴσωπον, καὶ Χρηστοήθειαν, καὶ τοὺς τύπους τῆς Γραμματικῆς πρὸς διάκρισιν τῶν ὀκτὼ μερῶν τοῦ λόγου, ὅστις,.... τῇ.... Σχολῇ, μέλος λογιζομένη.... ὧδε, ἐξηρτημ.... τοῦ πρώτου τῶν γραμματικῶν διδασκάλου. Ὁ δὲ ἅπαξ γοῦν τοῦ μηνὸς ἀπερχόμενος, ὡς δὴ ἐπιστάτης ἐκείνου, καὶ ἔφορος, ἀναθεωρείτω τὰ κατ' αὐτὸν καὶ διορθούτω, ὡς εἰκὸς, ὅσον ἂν διορθώσεως γένηται, ὡς οὕτως ἐπιμελείσθωσαν ἅπαντες οἱ διδάσκαλοι προσάγειν μαθητὰς ἑκάστου ἔτους, ὁ μὲν πρῶτος τῶν γραμματικῶν, τῷ φιλοσόφῳ, ... ἵν' οὕτως ἀεὶ μὴ διαλείπῃ ἡ τῶν μαθητῶν προαγομένη ἐπίδοσις. Ἔστω δὲ ἐπὶ τοῖς διδασκάλοις τιμωρίας ἐπιτιθέναι τοῖς μαθηταῖς πρὸς σωφρονισμὸν μέντοι καὶ ἐπίδοσιν, ἀλλὰ μὴ ἀναιτίως· ἢν γὰρ τοιοῦτόν τι συμβῇ, τότε οἱ ἐπίτροποι συμβουλαῖς καὶ παραινέσεσι καταπαύσουσι τοὺς τοιούτους ὀργίλους τῶν διδασκάλων. Τοῖς δὲ διδασκάλοις ἀποδεδείχθω μισθὸς, ὅσος ἂν συντεθῇ πρὸς τὴν ἀξίαν ἑκάστου· ἀποκείσθω δὲ βραβεῖα τῷ τε φιλοσόφῳ καὶ τῷ πρώτῳ τῶν γραμματικῶν διδασκάλῳ, ἐπειδὰν τελείους ἀποδείξωσι μιᾶς τάξεως μαθητὰς, καὶ τῆς σφετέρας διαδοχῆς ἄξιον ἐκείνων τινὰ, οἱ μὲν ἱερωμένοι τύχωσιν οὕτως ἀμείβεσθαι παρὰ τῆς Ἐκκλησίας δι' ἐπαρχίας προσφόρου, εἰ δὲ λαϊκοὶ, τιμᾶσθαι